## ΕΥΡΥΚΡΑΤΙΔΑΣ Ο ΑΝΑΞΑΝΔΡΙΔΟΥ

*Εὐρυκρατίδας ὁ Ἀναξανδρίδου, πυνθανομένου τινὸς διὰ τί τὰ περὶ τῶν συμβολαίων δίκαια ἑκάστης ἡμέρας κρί-* B
*νουσιν οἱ ἔφοροι, ‘ὅπως’ ἔφη ‘καὶ ἐν τοῖς πολεμίοις πιστεύωμεν ἀλλήλοις.’*

## ΖΕΥΞΙΔΑΜΟΣ

1. *Ζευξίδαμος, πυνθανομένου τινὸς διὰ τί τοὺς περὶ τῆς ἀνδρείας νόμους ἀγράφους τηροῦσι καὶ τοῖς νέοις ἀπογραψάμενοι οὐ διδόασιν ἀναγινώσκειν, ‘ὅτι’ ἔφη ‘συνεθίζεσθαι [δεῖ] ταῖς ἀνδραγαθίαις κρεῖττον ἢ ταῖς γραφαῖς προσέχειν.’*

2. *Αἰτωλοῦ δέ τινος λέγοντος ὅτι τοῖς ἀνδραγαθεῖν βουλομένοις κρείσσων τῆς εἰρήνης ὁ πόλεμος, ‘οὐ μὰ τοὺς θεούς’ ἔφη ‘ἀλλὰ τούτοις κρείσσων ὁ θάνατος* C
*τῆς ζωῆς.’*

## ΗΡΩΝΔΑΣ

*Ἡρώνδας Ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας παρὼν καὶ πυθόμενος ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθερίας δίκην ἡττηθέντα.*

## ΘΕΑΡΙΔΑΣ

*Θεαρίδας ξίφος ἀκονῶν καὶ ἐρωτώμενος, εἰ ὀξύ ἐστιν, εἶπεν ‘ὀξύτερον διαβολῆς.’*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/158 UNIVERSITÄT LEIPZIG